## VI

*Λυσιδίκη σοί, Κύπρι, τὸν ἱππαστῆρα μύωπα*
*χρύσεον εὐκνήμου κέντρον ἔθηκε ποδός,*
*ᾧ πολὺν ὕπτιον ἵππον ἐγύμνασεν, οὐδέ ποτ᾽ αὐτῆς*
*μηρὸς ἐφοινίχθη κοῦφα τινασσομένης.*
*ἦν γὰρ ἀκέντητος τελεοδρόμος, οὕνεκεν ὅπλον*
*σοὶ κατὰ μεσσοπύλης χρύσεον ἐκρέμασεν.*

## VII

*αἱ Σάμιαι Βιττὼ καὶ Νάννιον εἰς Ἀφροδίτης*
*φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις,*
*εἰς δ᾽ ἕτερ᾽ αὐτομολοῦσιν ἃ μὴ καλά. δεσπότι Κύπρι,*
*μίσει τὰς κοίτης τῆς παρὰ σοὶ φυγάδας.*

## VIII

*ἡ λαμυρή μ᾽ ἔτρωσε Φιλαίνιον· εἰ δὲ τὸ τραῦμα*
*μὴ σαφές, ἀλλ᾽ ὁ πόνος δύεται εἰς ὄνυχα.*
*οἴχομ᾽, Ἔρωτες, ὄλωλα, διοίχομαι· εἰς γὰρ ἔχιδναν*
*νυστάζων ἐπέβην †ἤδ᾽† ἔθιγόν τ᾽ Ἀίδα.*

## IX

*λύχνε, σὲ γὰρ παρεοῦσα τρὶς ὤμοσεν Ἡράκλεια*
*ἥξειν, κοὐχ ἥκει· λύχνε, σὺ δ᾽ εἰ θεὸς εἶ*
*τὴν δολίην ἀπάμυνον· ὅταν φίλον ἔνδον ἔχουσα*
*παίζῃ, ἀποσβεσθεὶς μηκέτι φῶς πάρεχε.*